16 Φεβρουαρίου 2016

# Η Θεία Λειτουργία του Αγίου Γρηγορίου του Θεολόγου

/ Αρχεία PDF




Ἱερὰ Μητρόπολις Θεσσαλονίκης

# Ἡ Θεία Λειτουργία

τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Γρηγορίου
τοῦ Θεολόγου

## Η
## ΘΕΙΑ ΛΕΙΤΟΥΡΓΙΑ
## ΤΟΥ ΕΝ ΑΓΙΟΙΣ ΠΑΤΡΟΣ ΗΜΩΝ ΓΡΗΓΟΡΙΟΥ
## ΤΟΥ ΘΕΟΛΟΓΟΥ
## ΑΡΧΙΕΠΙΣΚΟΠΟΥ ΚΩΝΣΤΑΝΤΙΝΟΥΠΟΛΕΩΣ

ΕΥΧΗ ΙΚΕΤΗΡΙΟΣ, ἥν ἀναγιγνώσκει ὁ Ἱερεύς:

Ὁ ἐπισκεψάμενος ἡμᾶς ἐν ἐλέει καί οἰκτιρμοῖς, Δέσποτα Κύριε Ἰησοῦ Χριστέ, καί χαρισάμενος ἡμῖν παρρησίαν τοῖς ταπεινοῖς καί ἁμαρτωλοῖς καί ἀναξίοις δούλοις σου, παραστῆναι τῷ ἁγίῳ σου θυσιαστηρίῳ, καί προσφέρειν σοι τήν φοβεράν ταύτην καί ἀναίμακτον θυσίαν, ὑπέρ τῶν ἡμετέρων ἁμαρτημάτων καί τῶν τοῦ λαοῦ σου ἀγνοημάτων, εἰς ἄνεσιν καί ἀνάπαυσιν τῶν προκοιμηθέντων πατέρων ἡμῶν καί ἀδελφῶν, καί στηριγμόν παντός τοῦ λαοῦ σου, ἐπίβλεψον ἐπ᾿ ἐμέ τόν ἀχρεῖον δοῦλον σου, καί ἐξάλειψόν μου τά παραπτώματα διά τήν σήν εὐσπλαχνίαν· καί καθάρισόν μου τά χείλη καί τήν καρδίαν ἀπό παντός μολυσμοῦ σαρκός τε καί πνεύματος· καί ἀπόστησον ἀπ᾿ ἐμοῦ πάντα λογισμόν αἰσχρόν τε καί ἀσύνετον· καί ἱκάνωσόν με, τῇ δυνάμει τοῦ Παναγίου σου Πνεύματος, εἰς τήν λειτουργίαν ταύτην· καί πρόσδεξαί με διά τήν σήν ἀγαθότητα, προσεγγίζοντα τῷ ἁγίῳ σου θυσιαστηρίῳ· καί εὐδόκησον Κύριε,



δεκτά γενέσθαι τά προσαγόμενά σοι δῶρα ταῦτα, διά τῶν ἡμετέρων χειρῶν, συγκαταβαίνων ταῖς ἐμαῖς ἀσθενείαις· καί μή ἀπορρίψῃς με ἀπό τοῦ προσώπου σου μηδέ βδελύξῃ τήν ἐμήν ἀναξιότητα, ἀλλ᾿ ἐλέησόν με ὁ Θεός, κατά τό μέγα ἔλεός σου, καί κατά τό πλῆθος τῶν οἰκτιρμῶν σου παρένεγκε τά ἀνομήματά μου, ἵνα ἀκατακρίτως προσελθών κατενώπιον τῆς δόξης σου, καταξιωθῶ τῆς σκέπης σου, καί τῆς ἐλλάμψεως τοῦ παναγίου σου Πνεύματος· καί μή ὡς δοῦλος ἁμαρτίας, ἀποδόκιμος γένωμαι, ἀλ᾿ ὡς δοῦλος σός εὕρω χάριν καί ἔλεος καί ἄφεσιν ἁμαρτιῶν, ἐν τῷ νῦν καί ἐν τῷ μέλλοντι αἰῶνι. Ναί, Δέσποτα παντοκράτορ, παντοδύναμε Κύριε, εἰσάκουσον τῆς δεήσεώς μου· Σύ γάρ εἶ ὁ τά πάντα ἐνεργῶν ἐν πᾶσι· καί τήν παρά σοῦ πάντες ἐπιζητοῦμεν ἐπί πᾶσι βοήθειάν τε καί ἀντίληψιν.

Ὅτι φιλάνθρωπος εἶ, καί δεδοξασμένος ὑπάρχεις, Ἰησοῦ

τιμήν καί προσκύνησιν ἀναπέμπομεν, σύν τῷ ἀνάρχῳ σου πατρί καί τῷ παναγίῳ καί ζωαρχικῷ καί ὁμουσίῳ σου Πνεύματι, νῦν καί ἀεί καί εἰς τούς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Μετά τήν Εὐχήν, ὁ Ἀναγνώστης ἀναγιγνώσκει τό ἐκ τῆς Παλαιᾶς Διαθήκης ἀνάγνωσμα καί εἶτα τόν Ἀπόστολον. Ὁ δέ Διάκονος τό Εὐαγγέλιον. Μετά τά ἀναγνώσματα λαμβάνει χώραν τό θεῖον Κήρυγμα.

Ἀκολούθως ὁ Λαός ψάλλει τόν Χερουβικόν ὕμνον:

Σιγησάτω πᾶσα σάρξ βροτεία, καί στήτω μετά φόβου καί τρόμου, καί μηδέν γήϊνον ἐν ἑαυτῇ λογιζέσθω· ὁ γάρ Βασιλεύς τῶν βασιλευόντων καί Κύριος τῶν κυριευόντων, Χριστός ὁ Θεός ἡμῶν προσέρχεται σφαγιασθῆναι καί δοθῆναι εἰς βρῶσιν τοῖς πιστοῖς. Προηγοῦνται δέ τούτου οἱ χοροί τῶν ἀγγέλων μετά πάσης ἀρχῆς καί ἐξουσίας.

Τά πολυόμματα Χερουβίμ καί τά ἑξαπτέρυγα Σεραφίμ, τάς ὄψεις καλύπτοντα καί βοῶντα τόν ὕμνον· Ἀλληλούϊα· ἀλληλούϊα· ἀλληλούϊα.

Καθ᾽ ὅν χρόνον ψάλλεται ὁ Χερουβικός ὕμνος, ὁ Ἱερεύς ἀναγιγνώσκει τήν ΕΥΧΗΝ ΤΟΥ ΚΑΤΑΠΕΤΑΣΜΑΤΟΣ:

Οὐδείς ἄξιος τῶν συνδεδεμένων ταῖς σαρκικαῖς ἐπιθυμίαις καί ἡδοναῖς προσέρχεσθαι ἤ προσεγγίζειν ἤ λειτουργεῖν σοι Βασιλεῦ τῆς δόξης· τό γάρ διακονεῖν σοι μέγα καί φοβερόν καί αὐταῖς ταῖς ἐπουρανίαις Δυνάμεσιν. Ἀλλ᾽ ὅμως διά τήν ἄφατον καί ἀμέτρητόν σου φιλανθρωπίαν ἀτρέπτως καί ἀναλλοιώτως γέγονας ἄνθρωπος, καί Ἀρχιερεύς ἡμῶν ἐχρημάτισας, καί τῆς λειτουργικῆς ταύτης καί ἀναιμάκτου θυσίας τήν ἱερουργίαν παρέδωκας ἡμῖν, ὡς Δεσπότης τῶν ἁπάντων. Σύ γάρ μόνος, Κύριε ὁ Θεός ἡμῶν,



δεσπόζεις τῶν ἐπουρανίων καί τῶν ἐπιγείων, ὁ ἐπί θρόνου Χερουβικοῦ ἐποχούμενος, ὁ τῶν Σεραφίμ Κύριος, καί Βασιλεύς τοῦ Ἰσραήλ, ὁ μόνος Ἅγιος καί ἐν Ἁγίοις ἀναπαυόμενος. Σέ τοίνυν δυσωπῶ τόν μόνον ἀγαθόν καί εὐήκοον· Ἐπίβλεψον ἐπ᾽ ἐμέ τόν ἁμαρτωλόν καί ἀχρεῖον δοῦλόν σου, καί καθάρισόν μου τήν ψυχήν καί τήν καρδίαν ἀπό συνειδήσεως πονηρᾶς· καί ἱκάνωσόν με, τῇ δυνάμει τοῦ Ἁγίου σου Πνεύματος, ἐνδεδυμένον τήν τῆς ἱερατείας χάριν, παραστῆναι τῇ ἁγίᾳ σου ταύτῃ Τραπέζῃ, καί ἱερουργῆσαι τό ἅγιον καί ἄχραντόν σου Σῶμα καί τό τίμιον Αἷμα. Σοί γάρ προσέρχομαι κλίνας τόν ἐμαυτοῦ αὐχένα καί δέομαί σου. Μή ἀποστρέψῃς τό πρόσωπόν σου ἀπ᾽ ἐμοῦ, μηδέ ἀποδοκιμάσῃς με ἐκ παίδων σου· ἀλλ᾽ ἀξίωσον προσενεχθῆναί σοι ὑπ᾽ ἐμοῦ τοῦ ἁμαρτωλοῦ καί ἀναξίου δούλου σου τά Δῶρα ταῦτα.

εἰς τό εἶναι παραγαγών τόν ἄνθρωπον, καί θέμενος αὐτόν ἐν παραδείσῳ τρυφῆς. Ἀπάτῃ δέ τοῦ ἐχθροῦ, καί παρακοῇ τῆς σῆς ἐντολῆς παραπεσόντα, ἀνακαινίσαι βουλόμενος, καί πρός τό ἀρχαῖον ἀναγαγεῖν ἀξίωμα, οὐκ ἀγγέλοις, οὐκ ἀρχαγγέλοις, οὐ πατριάρχαις, οὐ προφήταις, τήν ἡμῶν ἐνεχείρησας σωτηρίαν· ἀλλ᾿ αὐτός ἀτρέπτως σάρξ γενόμενος, καί ἐνανθρωπήσας, κατά πάντα ὡμοιώθης ἡμῖν, ἐκτός μόνης τῆς ἁμαρτίας· μεσίτης ἡμῶν γενόμενος καί τοῦ Πατρός, καί τό μεσότοιχον τοῦ φραγμοῦ, καί τήν χρονίαν ἔχθραν καθελών, τά ἐπίγεια τοῖς ἐπουρανίοις συνῆψας καί ἀμφότερα εἰς ἕν συνήγαγες καί τήν ἔνσαρκον ἐπλήρωσας οἰκονομίαν. Καί μέλλων σωματικῶς ἐλαύνειν εἰς τούς οὐρανούς, θεϊκῶς τά πάντα πληρῶν, τοῖς ἁγίοις σου μαθηταῖς, καί ἀποστόλοις σου ἔλεγες· Εἰρήνην ἀφίημι ὑμῖν· εἰρήνην τήν ἐμήν δίδωμι ὑμῖν. Ταύτην καί νῦν τήν εἰρήνην ἡμῖν δώρησαι, Δέσποτα, παντός ἀποκάθαρον μολύσματος, παντός δόλου καί πάσης κακίας, καί πανουργίας, καί τῆς θανατηφόρου μνησικακίας, καί καταξίωσον ἡμᾶς ἀσπάσασθαι ἐν φιλήματι ἁγίῳ, εἰς τό μετασχεῖν ἀκατακρίτως τῆς ἀθανάτου καί ἐπουρανίου σου δωρεᾶς· χάριτι τῆς εὐδοκίας τοῦ Πατρός, καί ἐνεργείᾳ τοῦ ἁγίου Πνεύματος.

Σύ γάρ εἶ ὁ χορηγός καί δοτήρ πάντων τῶν ἀγαθῶν, καί σοί τήν δόξαν, τήν ἀΐδιον δοξολογίαν ἀναπέμπομεν, σύν τῷ ἀνάρχῳ σου Πατρί, καί τῷ ἁγίῳ σου Πνεύματι, νῦν καί ἀεί καί εἰς τούς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Οἱ συλλειτουργοί ἀνταλλάσουσι τόν ἀσπασμόν τῆς εἰρήνης καί ἀκολούθως δύο ἐξ αὐτῶν προσφέρουσι πρός ἀσπασμόν τοῖς πιστοῖς τό Ἱερόν Εὐαγγέλιον, τό ὁποῖον προηγουμένως ἀσπάζεται ὁ πρῶτος τῇ τάξει τῶν συλλειτουργῶν.

Ὁ Διάκονος:



Ἀγαπήσωμεν ἀλλήλους.

Ὁ Λαός:

Ἀγαπήσω σε, Κύριε, ἡ ἰσχύς μου, Κύριος στερέωμά μου, καί καταφυγή μου καί ρύστης μου.

Ὁ Διάκονος:

Τάς θύρας· τάς θύρας. Ἐν σοφίᾳ πρόσχωμεν.

Ὁ Ἀναγνώστης: ΤΟ ΣΥΜΒΟΛΟΝ ΤΗΣ ΠΙΣΤΕΩΣ

Ὁ Διάκονος:

Ὁ Ἱερεύς:

Ο ὢν Θεέ, Κύριε ἀληθινέ, ἐκ Θεοῦ ἀληθινοῦ· ὁ τοῦ Πατρός ἡμῖν ὑποδείξας τό φέγγος· ὁ τοῦ ἁγίου Πνεύματος τήν ἀληθῆ γνῶσιν ἡμῖν χαρισάμενος· ὁ τό μέγα τοῦτο τῆς ζωῆς ἀναδείξας μυστήριον· ὁ τήν τῶν ἀσωμάτων τοῖς ἀνθρώποις χοροστασίαν πηξάμενος· ὁ τήν τῶν Σεραφίμ τοῖς ἐπί γῆς παραδούς ὑμνῳδίαν, δέξαι μετά τῶν ἀοράτων καί τήν ἡμετέραν φωνήν. Σύναψον ἡμᾶς ταῖς ἐπουρανίαις δυνάμεσι· εἴπωμεν καί ἡμεῖς μετ᾽ αὐτῶν, πᾶσαν ἄτοπον ἔννοιαν περιστείλαντες, βοήσωμεν ὥσπερ ἐκεῖναι, ταῖς ἀσιγήτοις ἀνακράζοντες φωναῖς, ἀκαταπαύστοις στόμασι τό σόν μεγαλεῖον ὑμνήσωμεν.

Ὁ Διάκονος:

Εἰς ἀνατολάς βλέπετε.

Ὁ Ἱερεύς:

Σοί γάρ παρειστήκει κύκλῳ τά Σεραφίμ, ἕξ πτέρυγες τῷ ἑνί· καί ἕξ πτέρυγες τῷ ἑνί· καί ταῖς μέν δυσί πτέρυξι κατακαλύπτουσι τά πρόσωπα ἑαυτῶν· ταῖς δέ δυσί τούς πόδας ἑαυτῶν· καί ταῖς μέν δυσί πετόμενα, καί ἐκέκραγεν ἕτερον πρός ἕτερον.

Τόν ἐπινίκιον ὕμνον τῶν σωτηριῶν ἡμῶν, μετά φωνῆς ἐνδόξου, λαμπρᾷ τῇ φωνῇ ὑμνολογοῦντα, ᾄδοντα, βοῶντα, δοξολογοῦντα, κεκραγότα, καί λέγοντα.

Ὁ Διάκονος:

Πρόσχωμεν.



Ὁ Λαός:

Ἅγιος, Ἅγιος, Ἅγιος Κύριος Σαβαώθ, πλήρης ὁ οὐρανός καί ἡ γῆ τῆς δόξης σου. Ὡσαννά ἐν τοῖς ὑψίστοις. Εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου, ὡσαννά ὁ ἐν τοῖς ὑψίστοις.

Ὁ Ἱερεύς:

Ἅγιος, ἅγιος, ἅγιος εἶ, Κύριε, καί πανάγιος. Ἐξαίρετόν σου τῆς οὐσίας τό φέγγος· ἄφραστός σου τῆς σοφίας ἡ δύναμις. Οὐδείς λόγος ἐκμετρήσει τῆς σῆς Φιλανθρωπίας τό πέλαγος. Ἐποίησάς με ἄνθρωπον ὡς φιλάνθρωπος, οὐκ αὐτός τῆς ἐμῆς ἐπιδεής δουλείας, ἐγώ δέ μᾶλλον τῆς σῆς χρῄζων δεσποτείας, οὐκ ὄντα με, δι᾽ εὐσπλαχνίαν παρήγαγες· οὐρανόν μοι πρός ὄροφον ἔστησας· γῆν μοι πρός

ἔρχεσθαι κρῖναι ζῶντας καί νεκρούς, καί ἀποδοῦναι ἑκάστῳ κατά τά ἔργα αὐτοῦ.

Ὁ Λαός:

Κατά τό ἔλεός σου Κύριε.

Ὁ Ἱερεύς:

Ταύτης μου τῆς ἐλευθερίας προσφέρω σοι τά σύμβολα, τοῖς ρήμασί σου ἐπιγράφω τά πράγματα. Σύ μοι τήν μυστικήν ταύτην παρέδωκας τῆς σῆς σαρκός, ἐν ἄρτῳ καί οἴνῳ, τήν μέθεξιν.

Ὁ Λαός:

Πιστεύομεν.

Ὁ Ἱερεύς:

Τῇ νυκτί ᾗ παρεδίδου αὐτός σεαυτόν, τῇ σεαυτοῦ ἐξουσίᾳ.

Ὁ Λαός:

Πιστεύομεν.

Ὁ Ἱερεύς:

Λαβών ἄρτον ἐν ταῖς ἁγίαις καί ἀχράντοις καί ἀμωμήτοις σου χερσίν, ἔνευσας ἄνω πρός ἴδιόν σου Πατέρα Θεόν ἡμῶν καί Θεόν τῶν ὅλων· ηὐχαρίστησας, ηὐλόγησας, ἡγίασας, ἔκλασας, μετέδωκας τοῖς ἁγίοις σου μαθηταῖς, καί ἀποστόλοις σου, εἶπας·



Λάβετε, φάγετε· τοῦτό μού ἐστι τό Σῶμα, τό ὑπέρ ὑμῶν καί πολλῶν κλώμενον, καί διαδιδόμενον εἰς ἄφεσιν ἁμαρτιῶν· τοῦτο ποιεῖτε εἰς τήν ἐμήν ἀνάμνησιν.

Ἀμήν.

Ὡσαύτως μετά τό δειπνῆσαι, λαβών ποτήριον, καί ἐκέρασας αὐτό ἐκ γεννήματος ἀμπέλου καί ἐξ ὕδατος, ηὐχαρίστησας, ηὐλόγησας, ἡγίασας, μετέδωκας τοῖς ἁγίοις σου μαθηταῖς καί ἀποστόλοις σου, εἶπας·

Πίετε ἐξ αὐτοῦ πάντες· τοῦτό μού ἐστι τό Αἷμα, τό τῆς καινῆς Διαθήκης, τό ὑπέρ ὑμῶν καί πολλῶν ἐκχυνόμενον εἰς ἄφεσιν ἁμαρτιῶν· τοῦτο ποιεῖτε εἰς τήν

Κγένηται εἰς ἅγιον Σῶμά σου, τοῦ Κυρίου δέ καί Θεοῦ καί Σωτῆρος, καί παμβασιλέως ἡμῶν Ἰησοῦ Χριστοῦ, εἰς ἄφεσιν ἁμαρτιῶν, καί εἰς ζωήν τήν αἰώνιον τοῖς ἐξ αὐτοῦ μεταλαμβάνουσιν.

Ὁ Λαός:

Ἀμήν.

Ὁ Ἱερεύς:

Τό δέ ποτήριον τοῦτο, τό τίμιόν σου Αἷμα τό τῆς καινῆς Διαθήκης σου τοῦ Κυρίου δέ καί Θεοῦ καί Σωτῆρος, καί παμβασιλέως ἡμῶν Ἰησοῦ Χριστοῦ, εἰς ἄφεσιν ἁμαρτιῶν, καί εἰς ζωήν τήν αἰώνιον, τοῖς ἐξ αὐτοῦ μεταλάμβάνουσιν.

Ὁ Λαός:

Ἀμήν.

Ὁ Διάκονος: Τάς δεήσεις.

Σέ δυσωποῦμεν, Χριστέ ὁ Θεός ἡμῶν.

Τῆς Ἐκκλησίας σου, Κύριε, τήν κρηπῖδα κατάπηξον.

Τῆς ἀγάπης ἡμῖν τήν ὁμόνοιαν ρίζωσον.

Τῆς πίστεως τήν ἀλήθειαν αὔξησον.

Τῆς σῆς εὐσεβείας ἡμῖν τήν ὁδόν εὐθυτόμησον.



Τούς ποιμένας ὀχύρωσον.

Τούς ποιμενομένους ἀσφάλισαι.

Δός τῷ κλήρῳ τήν εὐκοσμίαν.

Τοῖς μοναχοῖς τήν ἐγκράτειαν.

Τοῖς ἐν παρθενίᾳ τό σωφρονεῖν.

Τοῖς ἐν σεμνῷ γάμῳ τήν εὐζωΐαν.

Τοῖς ἐν μετανοίᾳ τό ἔλεος.

Τοῖς πλουτοῦσι τήν ἀγαθότητα.

Τότε κλίνει ὁ τελετουργός τήν ἑαυτοῦ κεφαλήν λέγων καθ᾽ ἑαυτόν ἐν ἑαυτῷ.

Ὁ Ἱερεύς:

Μνήσθητι, Κύριε, καί τῆς ἐμῆς ἀθλίας καί ταλαιπώρου ψυχῆς, ταπεινώσεώς μου, καί συγχώρησόν μοι πάντα τά ἐμά πλημμελήματα, καί ὅπου ἐπλεόνασεν ἡ ἁμαρτία, περίσσευσόν σου τήν χάριν.

Ὑψώσει τήν κεφαλήν καί ἐκφωνήσει.

Ὁ γάρ λαός σου, καί ἡ Ἐκκλησία σου ἱκετεύει σε, καί διά σοῦ καί σύν σοί τόν Πατέρα λέγουσα:

Ὁ Λαός:

Ἐλέησον ἡμᾶς, ὁ Θεός, ὁ Σωτήρ ἡμῶν.
(Τρίς)

Ὁ Ἱερεύς:

Ἐλέησον ἡμᾶς, ὁ Θεός, ὁ Σωτήρ ἡμῶν.
(Τρίς)

Ὁ Λαός:

Κύριε ἐλέησον.
(Τρίς)

Ὁ Ἱερεύς:

Μνήσθητι, Κύριε, τοῦ ἀέρος καί τῶν καρπῶν τῆς γῆς. Μνήσθητι, Κύριε, τῆς συμμέτρου ἀναβάσεως τῶν ποταμίων ὑδάτων.



Μνήσθητι, Κύριε, τῶν ὑετῶν καί τῶν σπορίμων τῆς γῆς.

Εὔφρανον πάλιν καί ἀνακαίνισον τό πρόσωπον τῆς γῆς.

Τούς αὔλακας αὐτῆς μέθυσον, πλήθυνον τά γεννήματα αὐτῆς, παράστησον ἡμῖν αὐτά εἰς σπέρμα καί εἰς θερισμόν, καί νῦν εὐλογῶν εὐλόγησον· τήν ζωήν ἡμῶν οἰκονόμησον.

Εὐλόγησον τόν στέφανον τοῦ ἐνιαυτοῦ τῆς χρηστότητός σου, διά τούς πτωχούς τοῦ λαοῦ σου, διά τήν χήραν, καί τόν ὀρφανόν, διά τόν ξένον καί τόν προσήλυτον, καί δι᾽ ἡμᾶς πάντας τούς ἐλπίζοντας ἐπί σέ, καί ἐπικαλουμένους τό ὄνομά σου τό ἅγιον. Οἱ γάρ ὀφθαλμοί πάντων εἰς σέ ἐλπίζουσι, καί σύ δίδως τήν τροφήν αὐτῶν ἐν εὐκαιρίᾳ. Ποίησον μεθ᾽ ἡμῶν κατά τήν ἀγαθότητά σου, ὁ διδούς τροφήν πάσῃ σαρκί. Πλήρωσον χαρᾶς καί εὐφροσύνης τάς καρδίας ἡμῶν, ἵνα ἐν πᾶσι, πάντοτε πᾶσαν αὐτάρκειαν ἔ-

Ὁ Λαός:

Κύριε ἐλέησον.

Ὁ Ἱερεύς:

Μνήσθητι, Κύριε, τῶν προλαβόντων ὁσίων Πατέρων ἡμῶν ὀρθοδόξων Ἐπισκόπων, καί πάντων τῶν ἀπ' αἰῶνος σοι εὐαρεστησάντων ἁγίων Πατέρων, Πατριαρχῶν, Ἀποστόλων, Προφητῶν, Κηρύκων, Εὐαγγελιστῶν, Μαρτύρων, Ὁμολογητῶν καί παντός πνεύματος δικαίου, ἐν πίστει Χριστοῦ τετελειωμένου.

Ὁ Ἱερεύς:

Ἐξαιρέτως τῆς Παναγίας, ὑπερενδόξου ἀχράντου, ὑπερευλογημένης, Δεσποίνης ἡμῶν, Θεοτόκου καί ἀειπαρθένου Μαρίας.

Ὁ Λαός:

Θεοτόκε παρθένε, χαῖρε κεχαριτωμένη Μαρία, ὁ Κύριος μετά σοῦ· εὐλογημένη σύ ἐν γυναιξί, καί εὐλογημένος ὁ καρπός τῆς κοιλίας σου· ὅτι Σωτῆρα ἔτεκες τῶν ψυχῶν ἡμῶν.

Ὁ Ἱερεύς:

Τοῦ ἁγίου, ἐνδόξου προφήτου, προδρόμου, Βαπτιστοῦ καί μάρτυρος Ἰωάννου· (τοῦ ἁγίου Στεφάνου τοῦ πρωτοδιακόνου καί πρωτομάρτυρος· τοῦ ἁγίου καί μακαρίου Πατρός ἡμῶν Μάρκου, τοῦ ἀποστόλου καί εὐαγγελιστοῦ· καί τοῦ ἐν ἁγίοις Πατρός ἡμῶν Γρηγορίου)· καί ὧν ἐν τῇ σήμερον ἡμέρᾳ τήν ὑπόμνησιν ποιούμεθα, καί παντός



χοροῦ τῶν ἁγίων σου, ὧν ταῖς εὐχαῖς καί πρεσβείαις, καί ἡμᾶς ἐλέησον, καί σῶσον διά τό ὄνομά σου τό ἅγιον τό ἐπικληθέν ἐφ' ἡμᾶς.

Ὁ Διάκονος: ΤΑ ΔΙΠΤΥΧΑ

Ὁ Ἱερεύς:

Μνήσθητι, Κύριε, τῶν προκεκοιμημένων ἐν τῇ ὀρθοδόξῳ πίστει πατέρων ἡμῶν καί ἀδελφῶν, καί ἀνάπαυσον τάς ψυχάς αὐτῶν μετά ὁσίων καί δικαίων. Ἔκθρεψον, σύναξον εἰς τόπον χλόης, ἐπί ὕδατος ἀναπαύσεως, ἐν παραδείσῳ τρυφῆς, καί μετά τούτων, ὧν εἴπομεν τά ὀνόματα αὐτῶν.

Μνήσθητι, Κύριε, ὧν ἐμνήσθημεν, καί ὧν οὐκ ἐμνήσθημεν, πιστῶν καί ὀρθοδόξων, μεθ' ὧν καί ἡμῖν σύν

Κύριε ἐλέησον.

Ὁ Ἱερεύς:

Εἰρήνη πᾶσι.

Ὁ Λαός:

Καί τῷ πνεύματί σου.

Ὁ Ἱερεύς ἀναγιγνώσκει τήν ΕΥΧΗΝ ΤΗΣ ΚΛΑΣΕΩΣ.

Εὐλογητός εἶ, Χριστέ ὁ Θεός, ὁ παντοκράτωρ, ὁ λυτρωτής τῆς ἑαυτοῦ Ἐκκλησίας· ὦ Λόγε, ὅν προνοοῦσιν αὐτόν, καί ἄνθρωπε, ὅν προθεωροῦσιν αὐτόν. Ὁ διά τῆς ἀκαταλήπτου αὐτοῦ σαρκώσεως, ἑτοιμάσας ἡμῖν ἄρτον ἐπουράνιον, τοῦτο τό σῶμά σου, ὅν ἔθου ἕν μυστήριον καί πανάγιον ἐν τοῖς ἅπασιν. Ἐκέρασας ἡμῖν ποτήριον ἐξ ἀμπέλου ἀληθείας, ἐκ θείας καί ἀχράντου σου πλευρᾶς. Ὁ καί μετά τό δεδωκέναι τό πνεῦμα ἐκχέων ἐξ αὐτῆς αἷμα καί ὕδωρ, οἷς ἁγιασμός τῷ κόσμῳ παντί. Κτῆσαι ἡμᾶς, ἀγαθέ Κύριε, τούς ἀναξίους δούλους σου· ποίησον ἡμᾶς λαόν περιούσιον, βασίλειον ἱεράτευμα, ἔθνος ἅγιον. Ἁγίασον καί ἡμᾶς, ὁ Θεός, ὥσπερ ἡγίασας τά προκείμενα καί ἅγια δῶρα ταῦτα, καί ἐποίησας αὐτά ἀόρατα ἐκ τῶν ὁρατῶν, μυστήρια ὧν προνοοῦσιν, αὐτά σοι, Κύριε ὁ Θεός, ὁ Σωτήρ ἡμῶν Ἰησοῦς Χριστός. Σύ οὖν, Κύριε, διά τῆς πολλῆς σου εὐσπλαχνίας κατηξίωσας ἡμᾶς διά τοῦ βαπτίσματος γενέσθαι εἰς υἱούς καί κληρονόμους. Ἐδίδαξας ἡμᾶς τόν τύπον τῆς προσευχῆς ὅς ἐστιν ἐμμυστήριος, τοῦ προσεύχεσθαι ἐν αὐτῇ τόν ἄχραντόν σου Πατέρα. Σύ οὖν καί νῦν, δέσποτα Κύριε, καταξίωσον ἡμᾶς ἐν ἁγιασμένῃ συνειδήσει, καί λογισμῷ ἀγαθῷ ὅν πρέπει τελείοις καί ἐν θερμῷ πόθῳ καί παρρησίᾳ ἀγαθῇ τολμᾷν ἐπικαλεῖσθαι τόν ἐν τοῖς οὐρανοῖς



Ὁ Λαός: ΤΗΝ ΚΥΡΙΑΚΗΝ ΠΡΟΣΕΥΧΗΝ.

Πάτερ ἡμῶν, ὁ ἐν τοῖς οὐρανοῖς·
ἁγιασθήτω τό ὄνομά σου·
ἐλθέτω ἡ βασιλεία σου·
γενηθήτω τό θέλημά σου,
ὡς ἐν οὐρανῷ καί ἐπί τῆς γῆς.
Τόν ἄρτον ἡμῶν τόν ἐπιούσιον
δός ἡμῖν σήμερον·
καί ἄφες ἡμῖν τά ὀφειλήματα ἡμῶν,
ὡς καί ἡμεῖς ἀφίεμεν τοῖς ὀφειλέταις ἡμῶν,
καί μή εἰσενέγκῃς ἡμᾶς εἰς πειρασμόν,
ἀλλά ῥῦσαι ἡμᾶς ἀπό τοῦ πονηροῦ.

Ὁ Ἱερεύς:

Πρόσχες, Κύριε Ἰησοῦ Χριστέ, ὁ Θεός ἡμῶν, ἐξ ἁγίου κατοικητηρίου σου, καί ἀπό θρόνου δόξης τῆς βασιλείας σου, καί ἐλθέ εἰς τό ἁγιάσαι ἡμᾶς τούς ἐπικλίνοντάς σοι, ὁ ἄνω τῷ Πατρί συγκαθήμενος, καί ὧδε ἡμῖν ἀοράτως συνών. Καί καταξίωσον τῇ κραταιᾷ σου χειρί μεταδοῦναι ἡμῖν τοῦ ἀχράντου Σώματός σου καί τοῦ τιμίου Αἵματος, καί δι᾽ ἡμῶν παντί τῷ λαῷ.

Ὁ Διάκονος:

Πρόσχωμεν Θεῷ μετά φόβου.

Ὁ Ἱερεύς:

Εἰρήνη πᾶσι.

Ὁ Λαός:

Καί τῷ πνεύματί σου.

Ὁ Ἱερεύς ἀναγιγνώσκει τήν ΕΥΧΗΝ ΤΗΣ ΕΛΕΥΘΕΡΙΑΣ

Ὁ ἀμνός τοῦ Θεοῦ, ὁ αἴρων τήν ἁμαρτίαν τοῦ κόσμου· τό πανάσπιλον αὐτοῦ αἷμα διαχύσας ἐπί τήν τοῦ κόσμου ζωήν, καί εἰς λύτρον καί ἀντάλλαγμα πάντων, ἑαυτόν παρέδωκας, ἐκ θανάτου λυτρωσάμενος,.ἐν ᾧ κατειχόμεθα, πεπραμένοι ὑπό τήν ἁμαρτίαν. Ὁ τῶν φοβουμένων αὐτόν ποιῶν τό θέλημα, καί τῆς δεήσεως αὐτῶν εἰσακούων, καί σῴζων αὐτούς. Ὁ τοῦ δικαίου Ἰώβ εἰσακούσας ἀνιστάμενος τό πρωΐ καί ὑπέρ παιδίων φίλτρων θυσίας προσαγαγών καί εἰπών, μήπως ἐνενόησαν υἱοί μου πονηρά ἐν τῇ καρδίᾳ αὐτῶν ἔναντι Θεοῦ. Καί ἐμοῦ τοῦ ἐλεεινοῦ καί ἁμαρτωλοῦ, καί ἀχρείου σου δούλου εἰσάκουσον, ἱκετεύοντος ὑπέρ τῶν σῶν οἰκετῶν, πατέρων μου καί ἀδελφῶν, καί ὑ-



πέρ τῆς ἐμῆς ἀθλιότητος. Εὐμενεῖ προσώπῳ καί γαληνῷ ὄμματι, ἔπιδε ἐφ᾽ ἡμᾶς ἐν ταύτῃ τῇ ὥρᾳ· καί πάρες οὖν ἡμῖν πᾶσαν ἀθετηρίαν, καί πᾶσαν παράβασιν, καί παρακοήν νόμου καί τῶν σῶν ἐντολῶν· ἔτι δέ καί πᾶσαν συνείδησιν, καί πᾶσαν ἐνθύμησιν, καί πάσαις πράξεσι, καί πάσαις κινήσεσι γεγωνυίαις ἐν ἑαυτοῖς, ἡμερικῶς τε καί νυχτερικῶς ἐπιδῆσαι καί κατακρατῆσαι κατά τῆς ψυχῆς. Καί ἀθῶωσον αὐτούς ἀπό πάσης συνειδήσεως πονηρῶν, καί πάσης ἀκάρπου πράξεως, καί παντός λογισμοῦ πεπυρωμένου, ἅ ἐστίν βέβηλα παρά τήν τῆς ψυχῆς καθαρότητα. Χάρισαι αὐτῶν τήν τῶν ἁμαρτιῶν ἐπίγνωσιν, καί τελείως ἀπέχεσθαι ἀπ᾽ αὐτῶν. Δώρησαι αὐτοῖς μετανοίας ἁγνότητα, καί τήν εἰς σέ ἐπιστροφήν· σύ γάρ, Δέσποτα Κύριε, ἐπτώχευσας ἑκουσίως ἐν τῷ σέ σαρκωθῆναι, διά τήν τοῦ γένους ἡμῶν σωτηρίαν· καί διέρρηξας τό καθ᾽ ἡμῶν χειρόγραφον, διά τήν ἐπί τοῦ σταυροῦ τῶν θείων σου παλαμῶν ἐφάπλωσιν. Φεῖσαι πάντων, Δέσποτα φιλόψυχε, ὅτι τά σύμπαντα δοῦλα σά, καί παρά σοῦ

Ὁ Ἱερεύς:

Σῶμα ἅγιον καί αἷμα τίμιον, ἀληθινόν, Ἰησοῦ Χριστοῦ, Υἱοῦ τοῦ Θεοῦ. Ἀμήν.

Ὁ Λαός:

Ἀμήν.

Ὁ Ἱερεύς:

Σῶμα καί αἷμα Ἐμμανουήλ τοῦ Θεοῦ ἡμῶν, τοῦτό ἐστιν ἀληθῶς. Ἀμήν.

Ὁ Λαός:

Ἀμήν.

Ὁ Ἱερεύς:

Πιστεύω, πιστεύω, πιστεύω καί ὁμολογῶ ἕως ἐσχάτης ἀναπνοῆς, ὅτι αὔτη ἐστίν ἡ σάρξ ἡ ζωοποιός, ἥν ἔλαβες, Χριστέ ὁ Θεός ἡμῶν, ἐκ τῆς ἁγίας δεσποίνης ἡμῶν Θεοτόκου, καί ἀειπαρθένου Μαρίας· καί ἐποίησας αὐτήν μίαν σύν τῇ θεότητί σου, μή ἐν μίξει, μηδέ ἐν φυρμῷ, μηδέ ἐν ἀλλοιώσει· καί ἐμαρτύρησας ἐπί Ποντίου Πιλάτου τήν καλήν ὁμολογίαν, καί παρέδωκας αὐτήν ὑπέρ ἡμῶν πάντων, αἴρων ἐπί τοῦ ξύλου τοῦ σταυροῦ τοῦ ἁγίου, ἐν τῷ θελήματί σου.
Ἀληθῶς πιστεύω, ὅτι θεότης σου οὐδ' οὐ μηδέποτε χωρισθεῖσα ἐξ ἀνθρωπότητός σου, ἐν ἀτόμῳ, οὐδέ ἐν ῥιπῇ ὀφθαλμοῦ. Μετέδωκας αὐτήν εἰς λύτρωσιν, καί εἰς ἄφεσιν ἁμαρτιῶν, καί εἰς ζωήν τήν αἰώνιον, τοῖς ἐξ αὐτῆς μεταλαμβάνουσι.



Πιστεύω ὅτι αὔτη ἔστιν ἀληθῶς. Ἀμήν.

Ὁ Λαός:

Ἀμήν.

Ὁ Διάκονος:

Ἐν εἰρήνῃ καί ἀγάπῃ.

Ὁ Ἱερεύς ἐκφωνήσει:

Ἀκατάληπτε Θεέ, Λόγε ἀχώρητε, ἀΐδιε, δέχου παρ' ἡμῶν τῶν ἁμαρτωλῶν, ἐξ ἀναξίων χειλέων, ὕμνον, μετά τῶν ἄνω δυνάμεων· σοί γάρ πρέπει πᾶσα δόξα, τιμή καί προσκύνησις σύν τῷ ἀνάρχῳ σου Πατρί, καί τῷ ζωοποιῷ σου Πνεύματι εἰς πάντας τούς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Κ διηνεκῶς ἀναπέμπομεν, σύν τῷ ἀνάρχῳ σου Πατρί καί τῷ ἁγίῳ σου Πνεύματι, νῦν καί ἀεί καί εἰς τούς αἰῶνας τῶν αἰώνων.

῾Ο Λαός:

**Αμήν.**

῾Ο Διάκονος:

**Τάς κεφαλάς ὑμῶν τῷ Κυρίῳ κλίνατε.**

῾Ο ῾Ιερεύς:

**Ο ὤν, ὁ ἦν, ὁ ἐλθών εἰς τόν κόσμον τοῦ φωτίσαι αὐτόν· ὁ σαρκωθείς, ἐνανθρωπήσας, καί σταυρωθείς δι᾽ ἡμᾶς, καί παθών ἑκουσίως σαρκί, καί μείνας ἀπαθής, ὡς Θεός· καί ταφείς, καί ἀναστάς τῇ τρίτῃ ἡμέρᾳ, καί ἀνελθών εἰς οὐρανούς, καί καθίσας ἐν δεξιᾷ τῆς μεγαλωσύνης τῆς δόξης τοῦ Πατρός, τό τε θεῖον, καί ἅγιον, καί ὁμοούσιον, καί ὁμοδύναμον, καί ὁμόδοξον, καί συναΐδιον Πνεῦμα καταπέμψας ἐπί τούς ἁγίους σου μαθητάς, καί ἀποστόλους, καί διά τούτου φωτίσας μέν αὐτούς, δι᾽ αὐτῶν δέ πᾶσαν τήν οἰκουμένην, Χριστέ, ὁ ἀληθινός Θεός ἡμῶν.**

**Καί τῶν ἀγγέλων τετραμόρφων ζώων ἀσωμάτων· καί τῶν ἀγγέλων, εἴκοσι τεσσάρων πρεσβυτέρων. Τοῦ ἁγίου ἐνδόξου, προφήτου, προδρόμου, βαπτιστοῦ, καί μάρτυρος ᾿Ιωάννου.**

**Τοῦ ἁγίου Στεφάνου τοῦ πρωτοδιακόνου καί πρωτομάρτυρος.**

**Τῶν θείων, ἱερῶν, ἐνδόξων ἀποστόλων, ἀθλοφόρων προφητῶν, καί καλλινίκων μαρτύρων.**

**Καί τοῦ ἁγίου καί μακαρίου Πατρός ἡμῶν Μάρκου τοῦ ἀποστόλου καί εὐαγγελιστοῦ, καί πάντων τῶν ἁγίων σου.**

Καί σῶσον, καί ἐλέησον, καί εὐλόγησον πάντα Χριστιανόν.

Καί σοί τήν δόξαν καί τιμήν, καί προσκύνησιν σύν τῷ ἀνάρχῳ σου Πατρί καί τῷ ἁγίῳ Πνεύματι νῦν καί ἀεί καί εἰς τούς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ὁ Διάκονος:

Ἐν εἰρήνῃ τοῦ Θεοῦ ἐτελειώθη ἡ θεία Λειτουργία, ἡ ὡρισμένη τῷ ἐν ἁγίοις Πατρί ἡμῶν Θεολόγῳ Γρηγορίῳ.






Πηγή: orthodoxfathers.com